Msc. Dresd.
A 141.

http://digital.slub-dresden.de/ppn345538927/1

http://digital.slub-dresden.de/ppn345538927/2

http://digital.slub-dresden.de/ppn345538927/3

http://digital.slub-dresden.de/ppn345538927/4

Ex Cod. 277.

55

Τοῦ τιμιωτάτου καὶ σοφωτάτου μοναχοῦ κυροῦ Δα-
βὶδ ἱστορία διὰ βραχέων, ὅπως τὴν ἀρχὴν συνέστη
ἡ κατὰ τὸν Βαρλαὰμ καὶ Ἀκίνδυνον πονηρὰ αἵ-
ρεσις.

Ὁ Βαρλαὰμ ἑλληνικοῖς προσκείμενος δόγμασιν,
ἐνόμιζε μηδὲν ἄλλο φῶς εἶναι θεῖον, εἰ μὴ τὴν γνῶσιν,
~~...~~ τὴν ματαίαν φιλοσοφίαν τῶν ἑλληνικῶν μαθημάτων
1) . . . . . επι . . . ε φῶς εἶναι θεῖον καὶ ἐλλαμψιαῖον
μόνοις μεθεκτὸν καὶ θεωρητὸν τοῖς διὰ τῶν ἐντολῶν
τοῦ θεοῦ κεκαθαρμένοις τὰς καρδίας. ἀκούσας οὖν
παρὰ τῶν καλογέρων περὶ τοῦ θείου φωτισμοῦ καὶ περὶ
θεοφανειῶν ἄλλων τε πολλῶν καὶ μάλιστα περὶ τῆς γε-
νομένης ἐλλάμψεως ἐπὶ τοῦ ὄρους Θαβὼρ κατὰ τὴν
θείαν ἐκείνην τοῦ κυρίου μεταμόρφωσιν. ἀκούσας ὅτι
ἔλεγον θεῖον καὶ ἀΐδιον τὸ φῶς ἐκεῖνο, καθ᾽ ὃ ἔλαμψε
τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, ὥς φησι τὸ ἱερὸν εὐ-
αγγέλιον, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένοντο λευκὰ ὡς τὸ
φῶς, ἀπελθὼν πρὸς ἀνατροπὴν τῶν καλογέρων ἔγρα-
ψε λόγους κατὰ τοῦ τοιούτου φωτός, θέλων δεῖξαι αὐτὸ
ὑλικὸν καὶ φθαρτόν. λέγων ὅτι οὐκ ἦν ἐκεῖνο τὸ φῶς ἀεί,
ἀλλὰ τότε ἐγένετο, ἵνα ἴδωσιν οἱ μαθηταὶ ἰδιῶται ὄντες,
καὶ θαυμάσωσι καὶ πάλιν διελύθη καὶ ἐφθάρη καὶ ἐ-
χώρησεν εἰς τὸ μὴ ὄν. τούτους τοὺς λόγους ἰδόντες οἱ
καλόγεροι ἠξίωσαν τὸν Παλαμᾶν, ἵνα ὁμιλήσῃ αὐτῷ
καὶ συμβουλεύσῃ καὶ ἀποστήσῃ αὐτὸν ἀπὸ τοῦ τοιαῦτα
λέγειν καὶ γράφειν, ἵνα μὴ βλασφημῇ μὲν εἰς τὸ
τοιοῦτον θεῖον φῶς, ὑβρίζῃ δὲ τοὺς ἁγίους τοὺς
ὑμνοῦντας αὐτό. ἔγραψε γὰρ ἐν τοῖς λόγοις σου
ὁ Βαρλαάμ, ὅτι πᾶς, ὅστις δοξάζει περὶ τοῦ φωτὸς
ἐκείνου ἄλλο τι παρὰ γράφει αὐτός, αἱρετικός ἐστι καὶ
δυσσεβὴς καὶ ἄθεος. εἰς δὲ τοῦτον καὶ ὡμίλησε πολλά-
κις ὁ Παλαμᾶς καὶ παρεκάλεσε καὶ ἤλεγξε καὶ ἀντ-
έγραψεν ἀπὸ στόματος. οὐκ ἠδυνήθη δὲ μεταπεῖσαι
οὐδόλως, ἀλλ᾽ ἔτι πλέον ἐξεκαίετο πρὸς τὴν τοιαύτην
βλασφημίαν καὶ τὰς τῶν ἁγίων ὕβρεις. ἀναγκασθεὶς
λοιπὸν ἀντέγραψεν ὁ Παλαμᾶς συναγαγὼν ἐκ τῶν τῶν ἁγίων λόγων,

1) διὸ καὶ μὴ ὂν πίστιν.

http://digital.slub-dresden.de/ppn345538927/5

θεῖον καὶ ἀπρόσιτον, ἄχρονον ἄκτιστον καὶ ἀΐδιον ἔλ-
λαμψιν καὶ χάριν καὶ λαμπρότητα θεοῦ, καὶ θεότητα
παρὰ τῶν ἁγίων καλούμενον. καθὼς λέγει καὶ ὁ μέγας
Γρηγόριος ὁ θεολόγος, ὅτι φῶς ἡ παραδειχθεῖσα θεό-
της ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς. ταῦτα ἰδὼν ὁ Βαρ-
λαὰμ ἀντέγραψεν, ὅτι εἴπερ ἦν τοιοῦτον τὸ φῶς ἐκεῖνο,
ἡ οὐσία τοῦ θεοῦ λοιπὸν ἦν, καὶ ~~ποιεῖται~~ ποιεῖτε λοι-
πὸν τὴν οὐσίαν τοῦ θεοῦ μεθεκτὴν καὶ ὁρατήν. τοῦτο δὲ
ἔνι βλάσφημον καὶ δυσσεβὲς καὶ δόγμα τῶν μασσα-
λιανῶν. ἀντέγραψε πρὸς ταῦτα ὁ Παλαμᾶς, ὅτι θεῖ-
ον μὲν ἐστὶ καὶ ἄκτιστον τὸ φῶς ἐκεῖνο, καὶ θεότης πα-
ρὰ τῶν ἁγίων ὀνομάζεται, οὐκ ἔστι δὲ οὐσία θεοῦ, ἀλλ'
ἐνέργεια καὶ χάρις καὶ δόξα καὶ λαμπρότης, ἐκ τῆς
θείας οὐσίας εἰς τοὺς ἁγίους πεμπομένη. οἱ γὰρ ἅγιοι
πάντες καὶ ἄνθρωποι καὶ ἄγγελοι δόξαν μὲν ἄχρονον
ὁρῶσι τοῦ θεοῦ καὶ χάριν ἀΐδιον δέχονται, καὶ δωρε-
άν, οὐσίαν δὲ θεοῦ οὐδεὶς πώποτε ἄνθρωπος, οὔτε ἄγγε-
λος, οὔτε εἶδεν, οὔτε ἰδεῖν δύναται. ταῦτα ἀκούσας
ὁ Βαρλαὰμ ἀντέγραψεν ὅτι ἐπειδὴ λέγεται, ὅτι ἡ
μὲν οὐσία τοῦ θεοῦ ἐστὶν ἀμέθεκτος καὶ ἀόρατος,
ἡ δὲ ἐνέργεια αὐτοῦ καὶ ἡ χάρις μεθεκτὴ καὶ χορη-
γουμένη πρὸς τοὺς ἁγίους, λοιπὸν δύο θεοὺς λέγε-
τε ὑπερκείμενον καὶ ὑφειμένον. ὑπερκείμενον μὲν
τὴν οὐσίαν, ἥτις ἐστὶν ἀόρατος καὶ ἀμέθεκτος· ὑφει-
μένον δὲ τὴν ἐνέργειαν καὶ τὴν χάριν, ἥντινα δέχον-
ται οἱ ἅγιοι παρὰ τοῦ θεοῦ. καὶ οὕτως ἐπλάσατο ἔγ-
κλημα τῆς διθεΐας. καὶ ἐγέμισε τοῦτο τὰς τῶν πολ-
λῶν ἀκοάς. ἔγραψεν οὖν πρὸς ταῦτα ὁ Παλαμᾶς,
ὅτι ἀμέθεκτος μένει ἡ οὐσία τοῦ θεοῦ καὶ ἀόρα-
τος πάσῃ κτίσει καὶ αὐτοῖς τοῖς ἀγγέλοις· μεθεκτὴ
δὲ ἡ ἐνέργεια καὶ ἡ χάρις αὐτοῦ ἡ θεοποιός, ἧς
μετέχουσι καὶ οἱ ἄγγελοι καὶ οἱ ἅγιοι. μετεχομέ-
νη δὲ ὑπὸ τούτων ἀχώριστός ἐστι πάλιν τῆς θείας οὐ-
σίας καὶ ἀδιαίρετος. διὰ τοῦτο οὐκ εἰσὶ δύο θεοὶ
ἢ δύο θεότητες. ὥσπερ γὰρ ἐπὶ τοῦ αἰσθητοῦ ἡλίου
ὁ μὲν δίσκος αὐτοῦ ἀψαυστός ἐστι παντελῶς καὶ ἀθέα-
τον καὶ ἀχώριστος τοῖς ὀφθαλμοῖς. εἰ γάρ τις ἐπιβιάσει

† ἀχώριστος

αὐτῷ ἔμελλεν ἀμαυρωθῆναι τε τὴν ὁρατικὴν ἑαυτοῦ
δύναμιν ὑπὸ τοῦ ἀπείρου φωτὸς καὶ παντελῶς κατα-
καυθῆναι, αἱ δὲ ἀκτῖνες αὐτοῦ πρὸς ἡμᾶς ἔρχονται
καὶ καταλάμπουσι πάντα τὰ ἐν τῷ κόσμῳ. λέγομεν
δὲ ἡμεῖς ἥλιον καὶ τὸν δίσκον ἐκεῖνον καὶ τὰς ἐκείνου
ἀκτῖνας καὶ οὐκ εἰσὶ διὰ τοῦτο δύο ἥλιοι ἀλλὰ εἷς, οὐδὲ
λέγομεν δύο ἡλίους, ἀλλ' ἕνα κἂν μυρίας ἔχῃ τὰς ἀ-
κτῖνας, οὕτω καὶ ἐπὶ τοῦ θεοῦ, ὁ ἐννοητὸς ἥλιος,
κἂν λέγωμεν ἀμέθεκτον τὴν οὐσίαν αὐτοῦ καὶ ἄκτιστον,
μεθεκτὴν δὲ τὴν ἐνέργειαν αὐτοῦ καὶ τὴν χάριν ἣν δέ-
χονται πάντες οἱ ἅγιοι, ἀλλὰ εἷς ἐστὶ θεὸς ὁ καὶ τὴν
οὐσίαν ἔχων καὶ τὴν ἐνέργειαν. καὶ ὥσπερ ἐάν τις
εἴπῃ ὅτι πολλοί εἰσιν ἥλιοι διὰ τὰς πολλὰς ἀκτῖνας
τοῦ ἡλίου, πάντως οὐκ ἀληθῶς μέλλει εἰπεῖν. οὕτω καὶ
ἐάν τις εἴπῃ, ὅτι πολλοί εἰσι θεοὶ διὰ τὰς ἐνεργείας
καὶ χάριτας τοῦ θεοῦ, μέλλει καὶ αὐτὸς ὁμοίως εἶναι
ἄδικος. ὥσπερ γὰρ λέγομεν καθὼς διδάσκει ἡ
ἁγία τοῦ θεοῦ ἐκκλησία, ὅτι ἔχει ὁ πατὴρ υἱὸν ἔχει
καὶ πνεῦμα ἅγιον, καὶ λέγομεν θεὸν καὶ τὸν πατέρα,
θεὸν καὶ τὸν υἱόν, θεὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, καὶ
οὐ λέγομεν ὅτι τρεῖς εἰσὶ θεοὶ ἀλλ' εἷς θεὸς τὰ τρία,
οὕτως ὁμοίως κἂν λέγωμεν, ὅτι ἡ οὐσία τοῦ θεοῦ ἔχει
φυσικὰς ἐνεργείας καὶ χάριτας, καὶ καλεῖται θεότης
καὶ ἡ οὐσία, καλεῖται δὲ καὶ ἡ θεοποιὸς ἐνέργεια
καὶ χάρις αὐτῆς, ἀλλὰ μία ἐστὶ θεότης ἡ οὐσία μετὰ
τῆς ἐνεργείας, ἀχώριστος οὖσα ταύτης καὶ ἀδιαίρετος.
οὐ γὰρ χωρίζεται ἡ ἐνέργεια ἐκ τῆς οὐσίας, ὡς οὐδὲ
ὁ υἱὸς ἐκ τοῦ πατρὸς ἢ τὸ πνεῦμα τὸ ἅγιον, ἢ καὶ ἐκ τῶν
αἰσθητῶν εἰπεῖν παραδειγμάτων, ὡς οὐδὲ ἡ ἀκτὶς
ἀπὸ τοῦ ἡλίου ἢ ἡ θέρμη ἀπὸ τοῦ πυρός, καὶ ὃν τρόπον
λέγομεν ὅτι ἡ οὐσία τοῦ ἡλίου ἤγουν ὁ δίσκος αὐτοῦ
ὑπερέχει καὶ ὑπέρκειται ὡς ἀμέθεκτος τῶν ἀκτίνων
καὶ τῆς ἐλλάμψεως τῆς μετεχομένης ὑπὸ τῶν ἡμε-
τέρων ὀφθαλμῶν. ἐκεῖνος γάρ ἐστιν ἡ ἀρχὴ καὶ ἡ πηγὴ
καὶ ἡ ῥίζα καὶ ὁ χορηγὸς τῆς ἐλλάμψεως, οὕτω λέγομεν
καθὼς διδάσκουσιν οἱ ἅγιοι, ὅτι καὶ ἡ θεία οὐσία ὡς ἀ-
μέθεκτος καὶ ἀόρατος, ὑπερέχει τῶν ἐξ αὐτῆς μετεχομένων

ἐλλάμψεων καὶ ἐνεργειῶν καὶ χαρισμάτων, ἃ χορηγεῖ
καὶ δωρεῖται τοῖς ἁγίοις ἡ ἁγία τριάς, ὁ πατὴρ καὶ
ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον. αἱ γὰρ θεῖαι ἐνερ-
γειαι πᾶσαι καὶ δωρεαὶ κοιναί εἰσι τῶν τριῶν προσ-
κυνητῶν ὑποστάσεων. καὶ ὃν τρόπον λέγει ὁ κύριος
ἐν τοῖς εὐαγγελίοις, ὅτι ὁ πατήρ μου μείζων μού ἐστι,
καὶ λέγει τοῦτο κατὰ τὸ ἀνθρώπινον, λέγει δὲ μάλι-
στα κατὰ τὸ αἴτιον, ὡς διδάσκουσιν οἱ ἅγιοι, αἴτιος
γάρ ἐστιν ὁ πατὴρ τοῦ υἱοῦ, οὐχ ὁ υἱὸς τοῦ πατρός, οὕτω
καὶ ἐπὶ τῆς θείας οὐσίας καὶ τῶν θείων δωρεῶν.
φασὶν οἱ θεολόγοι, ὑπέρκειται ἡ θεία οὐσία τῶν παρ'
αὐτῆς χορηγουμένων ἐνεργειῶν καὶ δωρεῶν, ὡς αἰ-
τία τούτων, καὶ πηγή. ἐκείνη γάρ ἐστιν αἰτία καὶ αὗ-
ται ἐξ ἐκείνης. διότι ἐκείνη χορηγεῖ καὶ δίδωσι ταύ-
τας, οὐχ αὗται ἐκείνην. ταῦτα τοίνυν ὡς διεξῆλθον
οἵ τε Βαρλαὰμ φρονοῦσι καὶ ὁ Ἀκίνδυνος ἤγουν
ὅτι κτιστὸν τὸ ἐν τῷ Θαβωρίῳ λάμψαν ἐπὶ τῆς
θείας μεταμορφώσεως φῶς. ὅτι πᾶσαι αἱ θεῖαι
ἐνέργειαι καὶ ἐλλάμψεις καὶ τὰ χαρίσματα τοῦ
πνεύματος πάντα κτιστά, μόνην δὲ τὴν οὐσίαν
— — τοῦ θεοῦ λέγουσιν ἄκτιστον, ὅπερ καὶ τοῦτο ἀδύ-
νατον. ὥσπερ γὰρ ἐάν τις εἴπῃ, ὅτι αἱ ἀκτῖνες
τοῦ ἡλίου σκοτειναί εἰσιν, ἐξ ἀνάγκης ὁ τοιοῦτος
καὶ τὸν πέμποντα αὐτὰς ἡλιακὸν δίσκον ποιεῖ
σκοτεινόν. οἷος γὰρ ὁ δίσκος τοιαῦται καὶ αἱ
ἀκτῖνες. αἱ μὲν φωτεινοῦ φωτειναί, αἱ δὲ σκο-
τεινοῦ σκοτειναί, οὕτω καὶ ἐπὶ τῆς θείας οὐσίας
νόμιζε καὶ τῶν τοῦ θεοῦ ἐνεργειῶν, ὁποίας ἂν εἴποι
τις εἶναι τὰς ἐνεργείας, τοιαύτην ποιεῖ καὶ τὴν οὐσίαν.
εἰ μὲν ἄκτιστοι αἱ ἐνέργειαι, ἄκτιστος καὶ ἡ οὐσία· εἰ
δὲ κτισταὶ καὶ ἡ οὐσία κτιστή. ἀχώριστοι γάρ εἰσιν αἱ ἐν-
έργειαι τῆς οὐσίας. καὶ ὥσπερ ἐπὶ τοῦ ἡλίου, ἐὰν εἴπῃ
τις ὅτι τὰς μὲν ἀκτῖνας λέγω σκοτεινάς, τὴν δὲ
οὐσίαν καὶ τὸν δίσκον τοῦ ἡλίου φωτεινόν, οὐκ ὀρθῶς
εἴπῃ (οι) sic cod. ἂν εἴπῃ. πρὸς γὰρ τὸν δίσκον εἰσὶ καὶ αἱ ἀκτῖνες,
οὕτω καὶ ἐπὶ θεοῦ ὁ λέγων, ὅτι τὰς ἐνεργείας λέγω

http://digital.slub-dresden.de/ppn345538927/8

κτιστὰς, τὴν δὲ οὐσίαν ἄκτιστον, οὐκ οἶδε τί λέγει. ὁποῖαι
γὰρ ἂν ὦσιν αἱ ἐνέργειαι, τοιαύτη ἐστὶ καὶ ἡ ταύτας γεν-
νῶσα οὐσία. εἰ μὲν ἄκτιστοι, ἄκτιστος· εἰ δὲ κτισταὶ,
κτιστή. ὥσπερ καὶ ἐπὶ τῆς πηγῆς, ὁποία αὐτὴ ἐστὶν
ἐκείνη, τοιοῦτον καὶ τὸ ἐξ αὐτῆς πηγαζόμενον ἐστὶν
ὕδωρ. εἰ μὲν γλυκεῖα, γλυκύ· εἰ δὲ πικρὰ, πικρόν.
ὁμοίως καὶ ἐπὶ τοῦ πυρὸς· ἐάν τις εἴπῃ ὅτι τὸ πῦρ
ἐστὶ θερμὸν, ἡ δὲ ἐξ αὐτοῦ πεμπομένη φυσικῶς
ἐνέργεια ψυχρὰ, ψεύδεται φανερῶς. θερμὴ γὰρ οὐ-
σία οὐ δύναται προβάλλειν ψυχρὰν ἐνέργειαν. οὐδὲ πά-
λιν ψυχρὰ οὐσία θερμὴν ἐνέργειαν. οὐ γὰρ θερμαίνει
τὸ ὕδωρ οὐδὲ ψύχει τὸ πῦρ, ἀλλ' ἕκαστον προσήκουσαν ἔχει
καὶ κατάλληλον τῇ οὐσίᾳ τὴν ἐνέργειαν. οὕτω καὶ ἐπὶ
θεοῦ ὁποία ἐστὶ καὶ κατάλληλος τῇ οὐσίᾳ ἡ ἐνέργεια.
ἀκτίστου οὔσης τῆς οὐσίας ἄκτιστός ἐστι καὶ ἡ ἐνέργεια.
ὁ δὲ λέγων τὴν ἐνέργειαν κτιστὴν ἐξ ἀνάγκης ποιεῖ
κτιστὴν καὶ τὴν οὐσίαν. ὅπερ ὡς ἔφην ὁ Βαρλαὰμ
φρονεῖ καὶ ὁ Ἀκίνδυνος. μὴ γὰρ δέξηταί τις ὅλως
παρά τινος, ὅτι ἔχει τινὰ παραλλαγὴν ἐν τοῖς δόγμασι
πρὸς τὸν Βαρλαὰμ ὁ Ἀκίνδυνος. ἀλλ' ἐπειδὴ κα-
θαιρεθεὶς ὁ Βαρλαὰμ ἐγένετο κοινὴ φήμη,
διὰ τοῦτο ἀρνεῖται ὁ Ἀκίνδυνος διὰ λόγου τὴν πρὸς
ἐκεῖνον ὁμοδοξίαν. φοβούμενος μὴ φωραθῇ παρὰ
τοῦ λαοῦ ὡς τὰ ἐκείνου ἐπεκδικῶν. διὰ τοῦτο πολλάκις
καὶ ἀναθεματίζει καὶ ὑποβάλλει ἐκεῖνον, ὡς αἱρετικὸν
καίτοι αὐτὸς ὢν ἐκεῖνος κατὰ τοῦτο. τοιαύτην ἔχει τὴν
συνείδησιν. ἐκ τῆς τοιαύτης αἰτίας ἤγουν διὰ τὸ βούλεσθαι
λανθάνειν καὶ εἰς ἄλλην χείρονα παρὰ τὴν τοῦ Βαρλαὰμ
ἐξέπεσε δυσσέβειαν ὁ Ἀκίνδυνος. φρονεῖ μὲν γὰρ καὶ αὐτὸς τὴν
θεοποιὸν χάριν ὁμοίως ἐκείνῳ κτιστήν. ἐλεγχόμενος δὲ ὑπὸ τῶν ἁ-
γίων καὶ φοβούμενος μὴ τὰ αὐτὰ πάθῃ τῷ Βαρλαὰμ, λέγει μὲν ἄκτιστον
τὴν χάριν. λέγει δὲ ταύτην εἶναι τὴν οὐσίαν τοῦ θεοῦ. καὶ μεθεκτὴν ταύτην
πᾶσι ποιεῖ τοῖς κτίσμασι λογικοῖς τε καὶ ἀλόγοις, ἐμψύχοις τε καὶ ἀ-
ψύχοις, ὅπερ πάσης ἀσεβείας ἐστὶν ἐπέκεινα. ταῦτα ὡς ἐν συντόμῳ
εἰπεῖν, τὰ τοῦ Βαρλαὰμ καὶ τοῦ Ἀκινδύνου ἐστὶ δυσσεβήματα.

http://digital.slub-dresden.de/ppn345538927/10

http://digital.slub-dresden.de/ppn345598927/11

http://digital.slub-dresden.de/ppn345538927/12

http://digital.slub-dresden.de/ppn345558927/13

http://digital.slub-dresden.de/ppn345538927/14

Msc. Dresd.
A 141.

http://digital.slub-dresden.de/ppn345538927/15

http://digital.slub-dresden.de/ppn345538927/16